17 *Πρῶτον μὲν οὖν, ὥσπερ συλλογίζεσθαί φαμεν ἐνδόξως ποτὲ μᾶλλον ἢ ἀληθῶς προαιρεῖσθαι δεῖν, οὕτω καὶ λυτέον ποτὲ μᾶλλον ἐνδόξως ἢ κατὰ τἀληθές. ὅλως γὰρ πρὸς τοὺς ἐριστικοὺς μαχετέον οὐχ ὡς ἐλέγχοντας ἀλλ' ὡς φαινομένους· οὐ γάρ φαμεν συλλογίζεσθαί γε αὐτούς, ὥστε πρὸς τὸ μὴ δοκεῖν διορθωτέον. εἰ γάρ ἐστιν ὁ ἔλεγχος ἀντίφασις μὴ ὁμώνυμος ἔκ τινων, οὐδὲν ἂν δέοι διαιρεῖσθαι πρὸς ἀμφίβολα καὶ τὴν ὁμωνυμίαν (οὐ γὰρ ποιεῖ συλλογισμόν), ἀλλ' οὐδενὸς ἄλλου χάριν προσδιαιρετέον ἀλλ' ἢ ὅτι τὸ συμπέρασμα φαίνεται ἐλεγχοειδές. οὔκουν τὸ ἐλεγχθῆναι ἀλλὰ τὸ δοκεῖν εὐλαβητέον, ἐπεὶ τό γ' ἐρωτᾶν ἀμφίβολα καὶ τὰ 175b παρὰ τὴν ὁμωνυμίαν ὅσαι τ' ἄλλαι τοιαῦται παρακρούσεις καὶ τὸν ἀληθινὸν ἔλεγχον ἀφανίζει καὶ τὸν ἐλεγχόμενον καὶ μὴ ἐλεγχόμενον ἄδηλον ποιεῖ. ἐπεὶ γὰρ ἔξεστιν ἐπὶ τέλει συμπεραναμένου μὴ ὅπερ ἔφησεν ἀποφῆσαι λέγειν, ἀλλ' ὁμωνύμως, εἰ καὶ ὅτι μάλιστ' ἔτυχεν ἐπὶ ταὐτὸ φέρων, ἄδηλον εἰ ἐλήλεγκται· ἄδηλον γὰρ εἰ ἀληθῆ λέγει νῦν. εἰ δὲ διελὼν ἤρετο τὸ ὁμώνυμον ἢ τὸ ἀμφίβολον, οὐκ ἂν ἄδηλος ἦν ὁ ἔλεγχος, ὅ τ' ἐπιζητοῦσι νῦν μὲν ἧττον πρότερον δὲ μᾶλλον οἱ ἐριστικοί, τὸ ἢ 'ναί' ἢ 'οὔ' ἀποκρίνεσθαι τὸν ἐρωτώμενον, ἐγίνετ' ἄν. νῦν δὲ διὰ τὸ μὴ καλῶς ἐρωτᾶν τοὺς πυνθανομένους ἀνάγκη προσαποκρίνεσθαί τι τὸν ἐρωτώμενον διορθοῦντα τὴν μοχθηρίαν τῆς προτάσεως· ἐπεὶ διελομένου γε ἱκανῶς ἢ 'ναί' ἢ 'οὔ' ἀνάγκη λέγειν τὸν ἀποκρινόμενον.*

*Εἰ δέ τις ὑπολήψεται τὸν κατὰ ὁμωνυμίαν ἔλεγχον*

---

**31** *μὲν* om. *Π* **33** *ποτὲ*] *πολλὰ* T (contra *Π* Bo) ‖ *ἀληθές* u **34** *μαχετέον* A *μαχητέον* cett. *Π* cf. 177a 30 ‖ post *φαινομένους* add. *ἐλέγχειν* Tu Bo (om. *Π*) **35** *ὥστε*] *ἀλλὰ Π* **36** *δοκοῦν Π* **39** *προδιαιρετέον* u **41** post *δοκεῖν* add. *redargui* Bo **175b 3** *καὶ μὴ ἐλεγχόμενον* om. $M^c$ *Π* ‖ *ἐπὶ*] *ἐν τῷ* u **4** *συμπερανουμένῳ* u ‖ *λέγων* pr. A **5** post *ὁμ.* add. *ἢ* (*καὶ* T) *ἀμφιβόλως* Tu Bo **8** *ὅ τ'*] *quoniam* B **10** *ἐγίνετ' ἄν*] *si fieri potest* Bo ‖ *διὰ* superscr. $A^2$ **11. 12** *τὸν ἐρωτώμενον* om. u (non om. *Π* $M^c$ Bo) **12** *ἐρωτήσεως* $M^p$ Bo *πτώσεως Π* **15** post *κατὰ* add. *τὴν* T $M^1$

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408701080/246 UNIVERSITÄT LEIPZIG